**δικατάληκτος**

Hephaest. 55. 7 sqq. τὸ ἐκ τῶν ἀντισπαστικῶν δὲ καταληκτικῶν διμέτρων δικατάληκτον, ὃ Φερεκράτης ἑνώσας σύμπτυκτον ἀνάπαιστον καλεῖ ἐν τῇ Κοριαννοῖ· (fr. 84. 1 sq. [PCG VII, p. 142] Kassel-Austin)

ἄνδρες πρόσχετε τὸν νοῦν ἐξευρήματι καινῷ
συμπτύκτοις ἀναπαίστοις.

Hephaest. 55. 13 sqq. καὶ τὸ ἐκ τῶν ἰαμβικῶν ἑφθημιμερῶν δικατάληκτον Καλλίμαχος· (*epigr*. 39. 1 sq. Pfeiffer)

Δήμητρι τῇ πυλαίῃ τῇ τοῦτον οὐκ οὐκ Πελασγῶν,

ὅπερ προέταξεν ἐπισυνθέτου, τοῦ ἐκ δακτυλικῆς τετραποδίας καὶ ἰθυφαλλικοῦ, τοῦδε· (epigr. 39. 3 Pfeiffer)

Ἀκρίσιος τὸν νηὸν ἐδείματο· ταῦθ᾽ ὁ Ναυκρατίτης.

Schol. A in Hephaest. 161. 7 sq. δικατάληκτον ὃ Φερεκράτης] ἐπεὶ τὸ ἐκ δύο ἀντισπαστικῶν καταληκτικῶν δικατάληκτον εἶπειν. [*B.M.*]